# ALIUD SCRIPTUM: à PHILIPPO MElanthone.

Σῶμα ἑεσσαμένη ψυχὴ ἔπι αἰθρὸν Ἐράσμου
τηλόθ' ἀθρεῦσα ὅμως ἀστερόεντα κύκλον
ἁρμονίην τε χορῶ ἄστρων, τέχνην τε, κράτος τε
ὠφελίμους ζώων τῷ βίῳ ἠδὲ δρόμους
τὸν σοφὸν εὐσεβέως κτίστην κόσμοιο ἐπέγνω
ἠδὲ νόμους αὐτὸν θέντα δικαιοσύνης.
ᾗ ἀτρεκέεσσι λόγοις ἅμα ἠδ' ἔργοισι δικαίοις
αἰεὶ ἐτίμησεν πάντα κρατοῦντα θεόν.
πίστει ἀκιβδήλῳ καὶ τοῦτ' ἐφρόνησ' ὅτι χριστὸν
ἱλαστῆρα βροτοῖς υἱὸν ἔπεμψε θεός.
δεξαμένη τε ἐπαγγελίας αὐτοῦ, τῷ ἀληθῶς
τῷ πατρὶ τοῦ χριστοῦ ὄντι λάτρευσε θεῷ,
Νῦν οὖν ἠδ' ἀγαθὴ ψυχὴ τὴν σάρκα λιποῦσα
ἐν λαμπροῖς παμένη δώμασιν οὐρανίοις
ἱστορέουσα θεόν, σοφίας αὐτοῦ ἀπολαύει,
καὶ ὑμνεῖ αὐτόν πολλὰ διδασκομένη
ὡς δ' ὁ γέρων Ἄτλας στιβαρῷ ποτε ὠρίωνι
ἠὲ Ἀρίσταιος τοῖς κέω ἐνναέταις.

τέρματα